τοῦ τόπου ἐκείνου Πειρασμὸς καὶ Λοιδόρησις διὰ τὴν λοιδορίαν
τῶν υἱῶν Ισραηλ καὶ διὰ τὸ πειράζειν κύριον λέγοντας Εἰ ἔστιν
κύριος ἐν ἡμῖν ἢ οὔ;
8 9 [8]Ἦλθεν δὲ Αμαληκ καὶ ἐπολέμει Ισραηλ ἐν Ραφιδιν. [9]εἶπεν δὲ
Μωυσῆς τῷ Ἰησοῦ Ἐπίλεξον σεαυτῷ ἄνδρας δυνατοὺς καὶ ἐξελ-
θὼν παράταξαι τῷ Αμαληκ αὔριον, καὶ ἰδοὺ ἐγὼ ἕστηκα ἐπὶ τῆς
κορυφῆς τοῦ βουνοῦ, καὶ ἡ ῥάβδος τοῦ θεοῦ ἐν τῇ χειρί μου.
10 [10]καὶ ἐποίησεν Ἰησοῦς καθάπερ εἶπεν αὐτῷ Μωυσῆς, καὶ ἐξελθὼν
παρετάξατο τῷ Αμαληκ· καὶ Μωυσῆς καὶ Ααρων καὶ Ωρ ἀνέβησαν
11 ἐπὶ τὴν κορυφὴν τοῦ βουνοῦ. [11]καὶ ἐγίνετο ὅταν ἐπῆρεν Μωυσῆς
τὰς χεῖρας, κατίσχυεν Ισραηλ· ὅταν δὲ καθῆκεν τὰς χεῖρας, κατί-
12 σχυεν Αμαληκ. [12]αἱ δὲ χεῖρες Μωυσῆ βαρεῖαι· καὶ λαβόντες λίθον
ὑπέθηκαν ὑπ᾽ αὐτόν, καὶ ἐκάθητο ἐπ᾽ αὐτοῦ, καὶ Ααρων καὶ Ωρ
ἐστήριζον τὰς χεῖρας αὐτοῦ, ἐντεῦθεν εἷς καὶ ἐντεῦθεν εἷς· καὶ
13 ἐγένοντο αἱ χεῖρες Μωυσῆ ἐστηριγμέναι ἕως δυσμῶν ἡλίου. [13]καὶ
ἐτρέψατο Ἰησοῦς τὸν Αμαληκ καὶ πάντα τὸν λαὸν αὐτοῦ ἐν φόνῳ
14 μαχαίρας. [14]εἶπεν δὲ κύριος πρὸς Μωυσῆν Κατάγραψον τοῦτο εἰς
μνημόσυνον ἐν βιβλίῳ καὶ δὸς εἰς τὰ ὦτα Ἰησοῖ ὅτι Ἀλοιφῇ ἐξα-
15 λείψω τὸ μνημόσυνον Αμαληκ ἐκ τῆς ὑπὸ τὸν οὐρανόν. [15]καὶ
ᾠκοδόμησεν Μωυσῆς θυσιαστήριον κυρίῳ καὶ ἐπωνόμασεν τὸ
16 ὄνομα αὐτοῦ Κύριός μου καταφυγή· [16]ὅτι ἐν χειρὶ κρυφαίᾳ πολε-
μεῖ κύριος ἐπὶ Αμαληκ ἀπὸ γενεῶν εἰς γενεάς.
18 [1]Ἤκουσεν δὲ Ιοθορ ὁ ἱερεὺς Μαδιαμ ὁ γαμβρὸς Μωυσῆ πάντα,
ὅσα ἐποίησεν κύριος Ισραηλ τῷ ἑαυτοῦ λαῷ· ἐξήγαγεν γὰρ κύριος
2 τὸν Ισραηλ ἐξ Αἰγύπτου. [2]ἔλαβεν δὲ Ιοθορ ὁ γαμβρὸς Μωυσῆ
3 Σεπφωραν τὴν γυναῖκα Μωυσῆ μετὰ τὴν ἄφεσιν αὐτῆς [3]καὶ τοὺς
δύο υἱοὺς αὐτοῦ· ὄνομα τῷ ἑνὶ αὐτῶν Γηρσαμ λέγων Πάροικος
4 ἤμην ἐν γῇ ἀλλοτρίᾳ· [4]καὶ τὸ ὄνομα τοῦ δευτέρου Ελιεζερ λέγων
Ὁ γὰρ θεὸς τοῦ πατρός μου βοηθός μου καὶ ἐξείλατό με ἐκ χειρὸς
5 Φαραω. [5]καὶ ἐξῆλθεν Ιοθορ ὁ γαμβρὸς Μωυσῆ καὶ οἱ υἱοὶ καὶ ἡ
γυνὴ πρὸς Μωυσῆν εἰς τὴν ἔρημον, οὗ παρενέβαλεν ἐπ᾽ ὄρους
6 τοῦ θεοῦ. [6]ἀνηγγέλη δὲ Μωυσεῖ λέγοντες Ἰδοὺ ὁ γαμβρός σου
Ιοθορ παραγίνεται πρὸς σέ, καὶ ἡ γυνὴ καὶ οἱ δύο υἱοί σου μετ᾽
7 αὐτοῦ. [7]ἐξῆλθεν δὲ Μωυσῆς εἰς συνάντησιν τῷ γαμβρῷ αὐτοῦ

8 επολεμει] επορευθη A† || 9 δυνατους > A || 10 εξελθων > A || 12 υπ M] επ B A | αυτου 1$^{0}$] -τον A | και ααρων] α. δε A | αυτου 2$^{0}$ > A† || 13 αυτου > B*† || 14 ειπεν δε] και ειπεν A | εν βιβλιω] εις -ιον B | ιησοι B†] -σου A: ambo mss. inter -σοι et -σου fluctuant, ego ubique B sequor | το μνημοσ.] τον A† || 15 κυριω > A | αυτου] του τοπου A† | μου καταφυγη] tr. B || 16 πολεμησει A

18 1 ο ιερ. μαδ. / ο γαμβρ. μωυση] tr. A† || 3 αυτου] αυτης B† | αυτων > A || 4 λεγων > A || 5 ηλθεν A | επ ορους] εις το ορος A || 6 απηγγελη A† | ο γαμβρ. σου / ιοθορ] tr. A | γυνη] + σου A || 7 αυτου > B†